## † Τῷ ἁγίῳ καὶ μεγάλῳ Σαββάτῳ.



Τῇ ἐπαύριον μετὰ τὴν Παρασκευήν, ἡμέρᾳ Σαββάτου, Μαρτίου κδ΄, συναχθέντες οἱ ἀρχιερεῖς καὶ οἱ φαρισαῖοι πρὸς τὸν Πιλάτον παρεκάλεσαν αὐτὸν ἵνα ἀσφαλίσῃ τὸν τάφον τοῦ Ἰησοῦ ἕως τῆς τρίτης ἡμέρας διότι, καθὼς ἔλεγον οἱ θεομάχοι, ἔχομεν ὑποψίαν μήπως οἱ μαθηταὶ αὐτοῦ, κλέψαντες διὰ νυκτὸς τὸ ἐνταφιασθὲν Αὐτοῦ σῶμα, κηρύξωσιν ἔπειτα εἰς τὸν λαὸν ὡς ἀληθινὴν τὴν ἀνάστασιν, ἣν προεῖπεν ὁ πλάνος ἐκεῖνος, ἔτι ζῶν· καὶ τότε ἔσται ἡ ἐσχάτη πλάνη χείρων τῆς πρώτης. Ταῦτα εἰπόντες πρὸς τὸν Πιλάτον καὶ λαβόντες ἄδειαν παρ᾽ αὐτοῦ, ἀπῆλθον καὶ ἐσφράγισαν τὸν τάφον, διορίσαντες πρὸς ἀσφάλειαν αὐτοῦ καὶ κουστωδίαν, τουτέστι φύλακας ἐκ τῶν φυλασσόντων τὴν πόλιν στρατιωτῶν.

### Ἀπολυτίκιον. Ἦχος β΄.

Ὁ εὐσχήμων Ἰωσήφ, ἀπὸ τοῦ ξύλου καθελὼν τὸ ἄχραντόν σου Σῶμα, σινδόνι καθαρᾷ, εἱλήσας καὶ ἀρώμασιν, ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο.

Δόξα...

Ὅτε κατῆλθες πρὸς τὸν θάνατον, ἡ ζωὴ ἡ ἀθάνατος, τότε τὸν ᾅδην ἐνέκρωσας, τῇ ἀστραπῇ τῆς θεότητος· ὅτε δὲ καὶ τοὺς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ Δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον· Ζωοδότα Χριστὲ ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Καὶ νῦν...

Ταῖς Μυροφόροις Γυναιξί, παρὰ τὸ μνῆμα ἐπιστάς, ὁ Ἄγγελος ἐβόα· Τὰ μύρα τοῖς θνητοῖς ὑπάρχει ἁρμόδια, Χριστὸς δὲ διαφθορᾶς ἐδείχθη ἀλλότριος.

### Κοντάκιον. Ἦχος β΄. Χειρόγραφον εἰκόνα.

Τὴν ἄβυσσον ὁ κλείσας, νεκρὸς ὁρᾶται· καὶ σμύρνῃ καὶ σινδόνι ἐνειλημμένος, ἐν μνημείῳ κατατίθεται, ὡς θνητὸς ὁ ἀθάνατος. Γυναῖκες δὲ αὐτὸν ἦλθον μυρίσαι, κλαίουσαι πικρῶς καὶ ἐκβοῶσαι· Τοῦτο Σάββατόν ἐστι τὸ ὑπερευλογημένον, ἐν ᾧ Χριστὸς ἀφυπνώσας, ἀναστήσεται τριήμερος.